A

## ΑΝΤΙΣΤΡΟΦΗ
### κώλων ς΄.

Ζ Σφάγι᾽ ἔχων κάμηλον,
Αμνόν τιν᾽, ἧς λαιμοὺς τεμὼν
Ωσπερ Οδυσσεὺς ἀπῆλθεν,
Κᾆτ᾽ ἀνῆλθεν αὐτῷ κάτωθεν,
Πρὸς τὸ λαῖμα τῆς καμήλου,
Χαιρεφῶν ἡ νυκτερίς.

## INVERSIO membrorum
### sex.

Victimas habens, camelum,
*Agnam aliquam, cuius coll[illegible] incidens,*
*Sicut Vlysses abiuit,*
B *Et postea ascendit ipsi deorsum*
*Ad guttur cameli*
*Chærephon noctua.*

Σχόλια. Σφάγι᾽ ἔχων] ταῦτά φησιν ὡς ἐπὶ τῶν ἀνακαλουμένων τὰς ψυχὰς ἐξ Αδου. Κάμηλον ἀμνόν τιν᾽] ἔπαιξεν εἰς τὸ ὀνοκίνδιον αὐτοῦ εἰπὼν ἀμνὸν καμήλου. ἔστι γὰρ εὐμεγέθης. δέον εἰπεῖν ἢ ἀρνειοῦ ἢ ἄλλου τινός. Κᾆτ᾽ ἀνῆλθ᾽ αὐτῷ.] ἐκ τῶν χθονίων ἀνῆλθεν. ὡς αὐτοκλήτως δὲ παραβάλλοντα αὐτὸν εἰς τὰ δεῖπνα διαβάλλει. Πρὸς τὸ λαῖμα τῆς καμήλου.] Εὐφρόνιος, τὸν λαιμόν. καὶ γὰρ C προείρηκεν εἰς λαιμοὺς τεμών. οἱ δὲ, ὅτι τὸ αἷμα. παραπεποίηκε δὲ παρὰ τὸ λαιμόν. ἔστι καὶ παρὰ Μενάνδρῳ ἐν Δαρδάνῳ. καὶ λαῖμα βακχεύει λαβὼν τὰ χρήματα. γράφεται τὸ δέρμα. εἴρηται δὲ ἐκείνοις οὐδὲν σαφές, τοῖς γράφουσι τὸ δέρμα. οἱ δὲ ὅρμημα τὸ λαῖμα. ἔτι μέν τοι τῶν περὶ Ασίαν τινὲς, ἐπὶ τῶν ἀναιδῶν, καὶ εὐτόλμων οὕτω λέγουσιν. ὅπερ συμφωνότερόν ἐστι τῷ παρὰ Μενάνδρῳ. Χαιρεφῶν ἡ νυκτερίς.] ἐπεὶ οὔτε νυκτερὶς ἡμέρας οὔτε οἱ φιλόσοφοι φαίνονται. καταδεδυκότες γὰρ φιλοσοφοῦσι.

## ΠΟΣΕΙΔΩΝ, ΤΡΙΒΑΛΛΟΣ, ΗΡΑΚΛΗΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

Κορωνὶς στίχων ρκγ΄. καὶ γὰρ μετὰ τὸν ςς΄. κῶλα ἐστὶν ἕξ.

D

Bisetvs. Ποσειδῶν, Τριβαλλὸς, καὶ Ηρακλῆς πρέσβεις παρὰ Διὸς ἥκουσι, καὶ πολλῶν ἀμφοτέρωθεν εἰρημένων, τέλος τὸν Πεισθέταιρον πείθουσι, καὶ διαλλαγὰς πρὸς αὐτὸν ποιοῦνται.

Πο. ΤΟ μὲν πόλισμα τῆς Νεφελοκοκκυγίας
Ορᾷς τοδὶ πάρεστιν, ἢ πρεσβεύομεν.
Οὗτος τί δρᾷς ἐπ᾽ ἀριστέρ᾽ οὕτως ἀμπέχῃ,
Οὐ μεταβαλεῖς θοἰμάτιον ὡς ἐπιδέξιά;
Τί ὦ κακόδαιμον Λαισποδίας εἶ τὴν φύσιν.
Ω δημοκρατία. ποῖ προβιβᾷς ἡμᾶς ποτε.
Εἰ τουτονί γ᾽ ἐχειροτόνησαν οἱ θεοί.
Τρ. Εξεις ἀτρέμας. Πο. οἴμωζε. πολὺ γὰρ δή σ᾽ ἐγὼ
Εώρακα πάντων βαρβαρώτατον θεῶν.
Αγε δὴ τί δρῶμεν Ηράκλεις. Ηρ. ἀκήκοας
Εμοῦ γ᾽ ὅτι τὸν ἄνθρωπον ἄγχειν βούλομαι.
Οςτις ποτ᾽ ἔσθ᾽ ὁ τοὺς θεοὺς ἀποτειχίσας.
Πο. Αλλ᾽ ὦ ᾽γάθ᾽ ᾑρήμεθα περὶ διαλλαγῶν
Πρέσβεις. Ηρ. διπλασίως μᾶλλον ἄγχειν μοι δοκεῖ.
Πει. Τὴν τυρόκνηστιν τὶς δότω. φέρε σίλφιον.
Τυρὸν φερέτω τις. πυρπόλει τοὺς ἄνθρακας.
Ηρ. Τὸν ἄνδρα χαίρειν οἱ θεοὶ κελεύομεν,
Τρεῖς ὄντες ἡμεῖς. Πει. ἀλλ᾽ ἐπικνῶ τὸ σίλφιον.
Ηρ. Τὰ κρέα δὲ τοῦ ταῦτ᾽ ἐστίν; Πει. ὄρνιθές τινες,

## Neptvnvs, Tribalvs, Hercules, Pistheterus.

Nep. HÆc quidem ciuitatula nephelococcygiæ,
*Vides hæc adest, quò legati sumus.*
*Hic quid facis, in sinistras sic indueris?*
*Non mutas pallium tanquam in dexteras?*
E *Quid ô infelix læspodias es natura.*
*O popularis dominatio, quò ire facis nos aliquando,*
*Si hunc sic confirmarunt dei.*
Try. *Habebis tacitè.* Po. *luge. multum enim iam te ego*
*Vidi omnium barbarissimum deorum.*
*Age iã quid facimus Hercules?* Her. *audisti*
*Me quòd hunc virum suffocare volo,*
F *Quicunque vnquam est Deus extra murans.*
Po. *Sed ô bene electi sumus de pacibus*
*Legati.* Her. *dupliciter magis suffocare mihi videris.*
Pi. *Casiteram aliquis det, fer silphium,*
*Caseum ferat aliquis, verte carbones.*
Her. *Virum gaudere dei iubemus*
*Tres existentes nos.* Pi. *sed inijce silphium.*
G Her. *Carnes autẽ cuius hæ sunt?* Pi. *aues aliquæ*

Σχόλια. Τὸ μὲν πόλισμα.] κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκειτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρκγ. ὧν τελευταῖος Γαμικὴν χλαμύδα δότω τις δεῦρό μοι. μετὰ δὲ τὸν ςς. στίχον κῶλά ἐστιν ἀντισπαστικὰ ς. ἐπιμεμιγμένα διϊάμβοις διαπονδείοις καὶ ἐπιτρίτοις, ἑφθημιμερῆ, πλὴν τοῦ πρώτου. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνίς. προ-